## Ἄλλως.

Ἔγρετ' ἐὼν νέκυς, ὃς νέκυας ζωώσατο μύθῳ,
πέφνε μόρον δὲ μόρῳ πνοιὴν νεκύεσσιν ὀπάσσας.

## Ἄλλως.

Ἔκθορε δὴ τύμβου νέκυς, ὃς ζώωσε θανόντας
ζωὸς ἐὼν θνήσκοντ', ἀΐδαο θραῦσε δὲ κάρτος.

Πόνημα ταῦτ' ἐς ἔμμετρον Δημητρίου
τέχνην ἰατροῦ, Καρακάσση τοὐπίκλην.
ὃς τοῖσδ' ἀνυμνεῖ Μητέρ' ἁγνὴν καὶ Λόγον
τὸν σωμάτων λύοντα καὶ ψυχῶν νόσους.
εὐγνωμόνως δὲ ταῦτα τῷ σεβασμίῳ
Ἐπισκόπῳ νῦν Ῥιμνίκου δῶρον φέρει,
τῆς ἀρετῆς ὄντως γε τῷ κλεινῷ φίλῳ,
θύοντι θύματ' εὐάρεστα τῷ λόγῳ (α)
ξὺν αἰνέσει πρᾶξίν τε κ' εὐαγῆ λόγον,
ὃς ἐστι καρπὸς εὐσεβούντων χειλέων.

---

(α) Παύλ. ἐπιστ. Ἑβρ. ιγ. 15. 16.